


ΤΗΙ

ΜΙΑΙ ΑΓΙΑΙ ΚΑΘΟΛΙΚΗΙ ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΗΙ
ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΑΙ

ΓΡΗΓΟΡΙΟΣ Ο ΓΚΙΚΑΣ

Ο ΕΥΣΕΒΕΣΤΑΤΟΣ ΚΑΙ ΦΙΛΟΧΡΙΣΤΟΣ
ΗΓΕΜΩΝ ΑΝΕΘΕΤΟ.



Τίνι μὲν οὖν ἄλλῳ ἢ ΣΟΙ, πάναγνε ΙΗΣΟΥ τοῦ Κυρίου ἡμῶν νύμφη, πρεπωδεστέρα ἂν εἴη ἡ τῆς δε τῆς βίβλου προσαγωγὴ καὶ ἀνάθεσις; ἐνίων μὲν γὰρ προσθήκαις, τινῶν δ' ἀφαιρέσεσι, παντοίαις δὲ ἄλλων μεταβολαῖς τε καὶ ἀλλοιώσεσι τὸ θεοπαράδοτον κατακιβδηλευσάντων σέβας, ἐκλαθέντων τε τῶν παλαιῶν καὶ ἀποσχισθέντων, καὶ ἀγέλας συγκροτησάντων ἰδίας, αἷς καὶ τὸ ΣΟΝ κακῶς τε καὶ προπετῶς, ἤτοι ἐθελοκακίᾳ, ἢ τῆς σημασίας ἀγνοίᾳ, περιτέθειται πάνσεμνον ὄνομα, ΣΥ μόνη ἐπὶ τὴν πέτραν, τὸν ΧΡΙΣΤΟΝ, θεμελιωθεῖσα, ἐν τῇ ἀποστολικῇ μένεις εὐσεβείᾳ· ἃ παρ' αὐτῶν παρέλαβες τῶν θεσπεσίων Ἀποστόλων, ἀπαραχάρακτα καὶ μέχρι κεραίας διαφυλάττουσα ἀνέπαφα, μόνη καὶ δογματοφύλαξ ἀληθὴς, καὶ ἀκριβεστάτη τυγχάνουσα νομοκράτωρ, μηδενὸς κατὰ ΣΟΥ, μηδ' ᾅδου πυλῶν κατὰ τὴν δεσποτικὴν κατισχυουσῶν ἐπαγγελίαν. ἔνθεντοι ΣΥ εἶ ἡ ΜΙΑ ἡ περιστερὰ ἡ τελεία, ἡ ΜΙΑ τῇ μητρὶ αὐτῆς τῇ ΘΕΟΤΗΤΙ, ὅλη καλὴ καὶ μῶμον οὐκ ἔχουσα, ὡς κρίνον ἐν μέσῳ τῶν νῦν μὲν ἀκανθῶν, ποτὲ δὲ θυγατέρων. ἐπεὶ οὖν τῆς νέας ἡ παλαιὰ διαθήκη προκατασκευή τίς ἐστι καὶ προοδοποίησις, αὐτὴν πῇ μὲν τυπικῶς, πῇ δὲ σκιωδῶς, ἔστι δ' ὅπου καὶ ῥητῶς ἐκφαίνουσα, κατὰ πάντα δ' αὐτῇ ὁμοφωνοῦσά τε καὶ συνᾴδουσα· εἴγε δὴ ἑκατέρας εἷς καὶ ὁ αὐτὸς δοτὴρ ὁ ΘΕΟΣ· διὰ τοῦτο θατέρας ἀναπτυσσομένης, ἀκράδαντα τῆς ἑτέρας ὁ λόγος